Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

Bt from Gilbertson

29261 e. 65

# ANACREONTIS

# O D A R I A.

# ANACREONTIS

# ODARIA,

AD

TEXTUS BARNESIANI FIDEM

EMENDATA.

---

ACCEDUNT

VARIÆ LECTIONES

CURÂ

EDVARDI FORSTER, A. M.

REG. SOCIET. ET ANTIQ. SOCIET.

LOND. SOC.

---

LONDINI,

SUMPTIBUS EDITORIS EXCUDEBANT

GUL. BULMER ET SOC.

ET PROSTANT APUD J. WHITE ET G. MILLER.

MDCCCII.

BODLEIAN
P
2 JAN 1963
LIBRARY



## ΕΙΣ ΛΥΡΑΝ. α'.

ΘΕΛΩ λέγειν Ἀτρείδας,
Θέλω δὲ Κάδμον ᾄδειν·
Ἡ βάρβιτος δὲ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.

"Ημειψα νεῦρα πρώην,
Καὶ τὴν λύρην ἅπασαν·
Κἀγὼ μὲν ᾖδον ἄθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν,
Ἥρωες· ἡ λύρη γὰρ
Μόνους ἔρωτας ᾄδει.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ. β'.

Φύσις κέρατα ταύροις,
Οπλὰς δ' ἔδωκεν ἵπποις,
Ποδωκίην λαγωοῖς,

*Λέουσι χάσμ' ὀδόντων,*
*Τοῖς ἰχθύσιν τὸ νηκτὸν,*
*Τοῖς ὀρνέοις πέτασθαι,*
*Τοῖς ἀνδράσιν φρόνημα·*
*Γυναιξὶν οὐκ ἔτ' εἶχεν;*
*Τί οὖν δίδωσι; κάλλος,*
*Ἀντ' ἀσπίδων ἁπασέων,*
*Ἀντ' ἐγχέων ἁπάντων·*
*Νικᾷ δὲ καὶ σίδηρον,*
*Καὶ πῦρ, καλή τις οὖσα*

## ΕΙΣ ΕΡΩΤΑ. γ'.

*Μεσονυκτίοις ποθ' ὥραις,*
*Στρέφεται ὅτ' Ἄρκτος ἤδη*
*Κατὰ χεῖρα τὴν Βοώτεω,*
*Μερόπων δὲ φῦλα πάντα*
*Κέαται, κόπῳ δαμέντα·*
*Τότ' Ἔρως ἐπισταθείς μευ*
*Θυρέων ἔκοπτ' ὀχῆας.*
*Τίς, ἔφην, θύρας ἀράσσει;*
*Κατά μευ σχίσεις ὀνείρους.*
*Ὁ δ' Ἔρως, Ἄνοιγε, φησὶ,*

Βρέφος εἰμὶ, μὴ φόβησαι·
Βρέχομαι δὲ, κἀσέληνον
Κατὰ νύκτα πεπλάνημαι.
'Ελέησα ταῦτ' ἀκούσας·
'Ανὰ δ' εὐθὺ λύχνον ἅψας
'Ανέῳξα· καὶ βρέφος μὲν
'Εσορῶ φέροντα τόξον,
Πτέρυγάς τε καὶ φαρέτρην·
Παρὰ δ' ἱστίην καθίσσας
Παλάμαισι χεῖρας αὐτοῦ
'Ανέθαλπον, ἐκ δὲ χαίτης
'Απέθλιβον ὑγρὸν ὕδωρ.
'Ο δ', ἐπεὶ κρύος μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν

Τόδε τοξον, εἴ τι μοι νῦν
Βλάϐεται βραχεῖσα νευρή·
Τανύει δὲ, καὶ με τυπτει
Μέσον ἧπαρ, ὥσπερ οἶστρος·
Ἀνὰ δ' ἅλλεται καχάζων.
Ξένε, δ' εἶπε, συγχάρηθι·
Κέρας ἀβλαϐὲς μὲν ἐστι,
Σὺ δὲ καρδίην πονήσεις.





## ΕΙΣ ἙΑΥΤΟΝ. δ'.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις τε ποίαις
Στορέσας, θέλω προπίνειν.
Ὁ δ' Ἔρως, χιτῶνα δήσας

Ὑπὲρ αὐχένος παπυρῳ,
Μέθυ μοι διηκονείτω.
Τροχὸς ἅρματος γὰρ οἷα
Βίοτος τρέχει κυλισθεὶς,
Ὀλίγη δὲ κεισόμεσθα
Κόνις, ὀστέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥοδοις δὲ κρᾶτα
Πύκασον, κάλει δ' ἑταίρην.
Πρὶν, Ἔρως, ἐκεῖ μ' ἀπελθεῖν
Ὑπὸ νερτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

## ΕΙΣ ΡΟΔΟΝ. ε'.

Τὸ ῥόδον τὸ τῶν Ἐρώτων
Μίξωμεν Διονύσῳ·
Τὸ ῥόδον τὸ καλλίφυλλον
Κροτάφοισιν ἁρμόσαντες.
Πίνομεν ἁβρὰ γελῶντες.
Ῥόδον, ὦ φέριστον ἄνθος,
Ῥόδον, εἴαρος μέλημα·
Ῥόδα καὶ θεοῖσι τερπνα.
Ῥόδα παῖς ὁ τῆς Κυθηρης
Στέφεται καλοῖς ἰούλοις,

Χαρίτεσσι συγχορεύων.
  Στέψον οὖν με, καὶ λυρίσσω.
Παρὰ σοῖς, Διονυσε, σηκοῖς
Μετὰ κούρης βαθυκόλπου,
Ῥοδίνοισι στεφανίσκοις
Πεπυκασμένος, χορεύσω.

## ΚΩΜΟΣ. ϛ'.

Στεφάνους μὲν κροτάφοισι
Ῥοδίνους συναρμόσαντες
Μεθύομεν ἁβρὰ γελῶντες·
Ὑπὸ βαρβίτῳ δὲ κούρη,
Κατακίσσοισι βρύοντας

*Πλοκάμοις φέρουσα θύρσους,*
*Χλιδανόσφυρος χορεύει.*
*Ἁβροχαίτης δ' ἅμα κοῦρος,*
*Στομάτων ἡδὺ πνεόντων,*
*Κατὰ πηκτίδων ἀθύρει*
*Προχέων λιγεῖαν ὀμφήν.*
*Ὁ δ' Ἔρως ὁ χρυσοχαίτης,*
*Μετὰ τοῦ καλοῦ Λυαίου*
*Μετὰ τῆς καλῆς Κυθήρης,*
*Τὸν ἐπήρατον γεραιοῖς*
*Κῶμον μέτεισι χαίρων.*

## ΕΙΣ ΕΡΩΤΑ. Ζ'.

*'Υακινθίνῳ με ῥάβδῳ*
*Χαλεπῶς Ἔρως βαδίζοντ'*
*'Εκέλευσε συντροχάζειν·*
*Διὰ δ' ὀξέων μ' ἀναύρων,*
*Ξυλόχων τὲ καὶ φαράγγων,*
*Τροχάοντα πεῖρεν ὕδρος.*
*Κραδίη δὲ ῥινὸς ἄχρις*
*'Ανέβαινε, κἂν ἀπέσβην.*
*'Ο δ' Ἔρως, μέτωπα σείων*
*'Απαλοῖς πτεροῖσιν, εἶπε,*
*Συγὰρ ου δυνῃ φιλῆσαι.*

## ΕΙΣ ΤΟ ἙΑΥΤΟΥ ΟΝΕΙΡΟΝ. ή.

Διὰ νυκτὸς ἐγκαθεύδων
Ἁλιπορφύροις τάπησι,
Γεγανυμένος Λυαίῳ,
Ἐδόκουν ἄκροισι ταρσοῖς
Δρόμον ὠκὺν ἐκτανύειν,
Μετὰ παρθένων ἀθύρων·
Ἐπεκερτόμουν δὲ παῖδες,
Ἁπαλώτεροι Λυαίου,
Δακέθυμά μοι λέγοντες,
Διὰ τὰς καλὰς ἐκείνας.
Ἐθέλοντα δ᾽ αὖ φιλῆσαι

*Φύγον ἐξ ὕπνου με πάντες.*
*Μεμονωμένος δ' ὁ τλήμων*
*Πάλιν ἤθελον καθεύδειν.*

## ΕΙΣ ΠΕΡΙΣΤΕΡΑΝ. θ'.

*Ἐρασμίη πέλεια,*
*Πόθεν, πόθεν πέτασσαι;*
*Πόθεν μύρων τοσούτων,*
*Ἐπ' ἠέρος θέουσα,*
*Πνέεις τε καὶ ψεκάζεις;*
*Τίς ἐστί σοὶ; μέλει δὲ.*
*Ἀνακρέων μ' ἔπεμψε*
*Πρὸς παῖδα, πρὸς Βάθυλλον,*
*Τὸν ἄρτι τῶν ἁπάντων*

Κρατοῦντα καὶ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη,
Λαβοῦσα μικρὸν ὕμνον·
Ἐγὼ δ' Ἀνακρέοντι
Διηκονῶ τοσαῦτα.
Καὶ νυν οἵας ἐκείνου
Ἐπιστολὰς κομίζω·
Καί φησιν, εὐθέως με
Ἐλευθέρην ποιήσειν.
Ἐγὼ δέ, κἢν ἀφῇ με,
Δούλη μενῶ παρ' αὐτῷ·
Τί γάρ με δεῖ πέτασθαι
Ὄρη τε καὶ κατ' ἀγροὺς,
Καὶ δένδρεσιν καθίζειν,

Φαγοῦσαν ἄγριόν τι;
Τανῦν ἔδω μὲν ἄρτον,
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτοῦ·
Πιεῖν δὲ μοι δίδωσι
Τὸν οἶνον, ὃν προπίνει.
Πιοῦσα δ' ἂν χορεύσω,
Καὶ δεσποτην ἐμοῖσι
Πτεροῖσι συγκαλυψω·
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ', ἄπελθε·
Λαλιστέραν μ' ἔθηκας,
Ἄνθρωπε, καὶ κορώνης.



## ΕΙΣ ΕΡΩΤΑ ΚΗΡΙΝΟΝ. ί.

Ἔρωτα κηρινόν τις
Νεηνίης ἐπώλει·
Ἐγὼ δὲ οἱ παραστὰς,
Πόσου θέλεις, ἔφην, σοὶ

Τὸ τευχθὲν ἐκπρίωμαι;
Ὁ δ' εἶπε, Δωριάζων,
Λάϐ' αὐτὸν, ὁππόσου λῇς·
Ὅμως δ' ἵν' ἐκμάθῃς πᾶν,
Οὐκ εἰμὶ κηροτέχνας.
Ἀλλ' οὐ θέλω συνοικῇν
Ἔρωτι παντορέκτᾳ.
Δὸς οὖν, δὸς αὐτὸν ἡμῖν
Δραχμῆς, καλὸν σύνευνον.
Ἔρως, σὺ δ' εὐθέως με
Πύρωσον· εἰ δὲ μὴ, σὺ
Κατὰ φλογὸς τακήσῃ.

## ΕΙΣ ἙΑΥΤΟΝ. ιά.

Λέγουσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ·
Λαβὼν ἔσοπτρον, ἄθρει
Κομας μὲν οὐκέτ᾽ οὔσας,
Ψιλὸν δὲ σευ μέτωπον.
Ἐγὼ δὲ τὰς κόμας μὲν,
Εἴτ᾽ εἰσὶν, εἴτ᾽ ἀπῆλθον,
Ουκ οἶδα· τοῦτο δ᾽ οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὸ τερπνὰ παίζειν,
Ὅσῳ πέλας τὰ μοίρης.

## ΕΙΣ ΧΕΛΙΔΟΝΑ. ιϛ'.

*Τί σοι θέλεις ποιήσω,*
*Τί, κωτίλη χελιδών;*
*Τὰ ταρσά σευ τὰ κοῦφα,*
*Θέλεις, λαβὼν ψαλίξω;*
*Ἢ μᾶλλον ἔνδοθέν σευ*
*Τὴν γλῶσσαν, ὡς ὁ Τηρεὺς*
*Ἐκεῖνος, ἐκθερίξω;*
*Τί μευ καλῶν ὀνείρων,*
*Ὑπορθρίαισι φωναῖς*
*Ἀφήρπασας Βάθυλλον;*

## ΕΙΣ ΑΤΤΙΝ. ιγ΄.

Οἱ μὲν, καλὴν Κυβήβην
Τὸν ἡμίθηλυν Ἄττιν
Ἐν οὔρεσιν βοῶντα,
Λέγουσιν ἐκμανῆναι·
Οἱ δὲ, Κλάρου παρ᾽ ὄχθαις
Δαφνηφόροιο Φοίβου,
Λάλον πιόντες ὕδωρ,
Μεμηνότες βοῶσιν.
Ἐγὼ δὲ, τοῦ Λυαίου,
Καὶ τοῦ μύρου κορεσθεὶς,
Καὶ τῆς ἐμῆς ἑταίρης,
Θέλω, θέλω μανῆναι.

## ΕΙΣ ΕΡΩΤΑ. ιδ'.

Θέλω, θέλω φιλῆσαι·—
Ἔπειθ᾽ Ἔρως φιλεῖν με,
Ἐγὼ δ᾽ ἔχων νόημα
Ἄβουλον, οὐκ ἐπείσθην.
Ὁ δ᾽ εὐθὺ τόξον ἄρας,
Καὶ χρυσέην φαρέτρην,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ λαβὼν ἐπ᾽ ὤμων
Θώρηχ᾽, ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα, καὶ βοείην,
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ᾽· ἐγὼ δ᾽ ἔφευγον,

*Ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστοὺς,*
*Ἤσχαλλεν, εἶθ' ἑαυτὸν*
*Ἀφῆκεν εἰς βέλεμνον.*
*Μέσος δὲ καρδίης μευ*
*Ἔδυνε, καί μ' ἔλυσε.*
*Μάτην δ' ἔχω βοείην·*
*Τί γὰρ βαλώμεθ' ἔξω,*
*Μάχης ἔσω μ' ἐχούσης;*



## ΕΙΣ ΤΟ ΑΦΘΟΝΩΣ ΖΗΝ. ιέ.

Οὔ μοι μέλει Γύγαο
Τοῦ Σάρδεων ἄνακτος,
Οὔθ' αἱρέει με χρυσὸς,
Οὐδὲ φθονῶ τυράννοις·
Ἐμοὶ μέλει μύροισι
Καταβρέχειν ὑπήνην·
Ἐμοὶ μέλει ῥόδοισι
Καταστέφειν κάρηνα·
Τὸ σήμερον μέλει μοι·
Τὸ δ' αὔριον τίς οἶδεν;
Ἕως οὖν ἔτ' εὔδι' ἐστὶ,

Καὶ πῖνε καὶ κύβευε,
Καὶ σπένδε τῷ Λυαίῳ·
Μὴ νοῦσος, ἤν τις ἔλθῃ,
Λέγῃ, Σὲ μηδὲ πίνειν.

## ΕΙΣ ἙΑΥΤΟΝ. ις'.

Σὺ μὲν λέγεις τὰ Θήβης,
Ὁ δ' αὖ Φρυγῶν ἀϋτάς·
Ἐγὼ δ' ἐμὰς ἁλώσεις.
  Οὐχ ἵππος ὤλεσέν με,
Οὐ πεζὸς, οὔτε νῆες.
Στρατὸς δὲ καινὸς ἄλλος
Ἀπ' ὀμμάτων βαλών με.

## ΕΙΣ ΠΟΤΗΡΙΟΝ ΑΡΓΥΡΟΥΝ. ιζʹ.

*Τὸν ἄργυρον τορεύσας,*
*Ἥφαιστέ, μοι ποίησον,*
*Πανοπλίαν μὲν οὐχὶ,*
*Τί γὰρ μάχαισι κἀμοὶ;*
*Ποτήριον δὲ κοῖλον,*
*Ὅσον δύνῃ, βάθυνον.*
*Ποίει δὲ μοι κατ' αὐτὸ,*
*Μήτ' ἄστρα, μήθ' ἁμάξας,*
*Μὴ στυγνὸν Ὠρίωνα·*
*Τί Πλειάδεσσι κἀμοί;*

Τί δ' ἄστρασιν Βοώτεω;
Ποίησον ἀμπέλους μοι,
Καὶ βότρυας κατ' αὐτὸ,
Καὶ χρυσέους πατοῦντας,
Ὁμοῦ καλῷ Λυαίῳ,
Ἔρωτα, καὶ Βάθυλλον.



## ΕΙΣ ΤΟ ΑΥΤΟ. ιή.

Καλλίτεχνά, μοι τόρευσον
Εἴαρος κύπελλον ἡδύ.
Τὰ πρῶτα τερπνὸν ἡμῖν
Ῥόδον φέρουσαν ὥρην·
Τὸν ἄργυρον δ' ἁπλώσας
Τερπνὸν πότον ποίει μοι·
Τῶν τελετῶν, παραινῶ,
Μή μοι ξένον τορεύσῃς,
Μὴ φευκτὸν ἱστόρημα.
Μᾶλλον ποίει Διὸς γόνον,

*Βάκχον Εὔϊον ἡμῖν*
*Μύστην νάματος, ἢ Κύπριν*
*Ὑμεναίοις κρατοῦσαν·*
*Χάρασσ' Ἔρωτ' ἄνοπλον,*
*Καὶ Χάριτας γελώσας*
*Ὑπ' ἄμπελον εὐπέταλον,*
*Εὐβότρυον, κομῶσαν·*
*Σύναπτε κούρους εὐπρεπεῖς,*
*Ἂν μὴ Φοῖβος ἀθύρῃ.*

## ΕΙΣ ΤΟ ΔΕΙΝ ΠΙΝΕΙΝ. *ιθ'*.

*Ἡ γῆ μέλαινα πίνει,*
*Πίνει δὲ δένδρε' αὐτήν·*

*Πίνει θάλασσα δ' αὔρας,*
*Ὁ δ' ἥλιος θάλασσαν,*
*Τὸν δ' ἥλιον σελήνη.*
*Τί μοι μάχεσθ', ἑταῖροι,*
*Κᾀυτῷ θέλοντι πίνειν;*

## ΕΙΣ ΤΗΝ ΚΟΡΗΝ. κ'.

*Ἡ Ταντάλου πότ' ἔστη*
*Λίθος Φρυγῶν ἐν ὄχθαις·*
*Καὶ παῖς πότ' ὄρνις ἔπτη,*
*Πανδίονος χελιδών.*
*Ἐγὼ δ' ἔσοπτρον εἴην,*
*Ὅπως ἀεὶ βλέπῃς με.*

Ἐγὼ χιτὼν γενοίμην,
Ὅπως ἀεὶ φορῇς με.
Ὕδωρ θέλω γενέσθαι,
Ὅπως σὲ χρῶτα λούσω.
Μύρον, γύναι, γενοίμην,
Ὅπως ἐγὼ σ' ἀλείφω·
Καὶ ταινίη δὲ μαστῶν,
Καὶ μάργαρον τραχήλῳ,
Καὶ σάνδαλον γενοίμην,
Μόνον, ποσὶν πατεῖν με.



## ΕΙΣ ΈΑΥΤΟΝ. κά.

Δότε μοι, δότ', ὦ γυναῖκες,
Βρομίου πιεῖν ἀμυστί·
Ὑπὸ καύματος γὰρ ἤδη
Προποθεὶς ἀναστενάζω.
  Δότε δ' ἀνθέων ἐκείνων·
Στεφάνους δ' οἵους πυκάζω,
Τὰ μέτωπά μου 'πικαίει·
Τὸ δὲ καῦμα τῶν Ἐρώτων,
Κραδίη, τίνι σκεπάσσω;



## ΕΙΣ ΒΑΘΥΛΛΟΝ. κϛ'.

Παρὰ τὴν σκιὴν, Βάθυλλε,
Κάθισον· καλὸν τὸ δένδρον,
Ἁπαλὰς σείει δὲ χαίτας
Μαλακωτάτῳ κλαδίσκῳ·

F

Παρὰ δ' αὐτῷ γ' ἐρεθίζει
Πηγὴ ῥέουσα Πειθοῦς.
Τίς ἂν οὖν ὁρῶν παρέλθοι
Καταγώγιον τοιοῦτον;

## ΕΙΣ ΧΡΥΣΟΝ. κγ'.

Ὁ πλοῦτος εἴγε χρυσοῦ,
Τὸ ζῆν παρῆγε θνητοῖς,
Ἐκαρτέρουν φυλάττων·
Ἵν' ἂν θανεῖν ἐπέλθῃ,
Λάβῃ τι, καὶ παρέλθῃ.
Εἰ δ' οὐδὲ τὸ πρίασθαι
Τὸ ζῆν ἔνεστι θνητοῖς,

*Τί καὶ μάτην στενάζω;*
*Τί καὶ γόους προπέμπω;*
*Θανεῖν γὰρ εἰ πέπρωται,*
*Τί χρυσὸς ὠφελεῖ με;*
*Ἐμοὶ γένοιτο πίνειν·*
*Πιόντι δ' οἶνον ἡδὺν*
*Ἐμοῖς φίλοις συνεῖναι·*
*Ἐν δ' ἁπαλαῖσι κοίταις*
*Τελεῖν τὴν Ἀφροδίτην.*



## ΕΙΣ ἙΑΥΤΟΝ. κδ'.

*Ἐπειὴ βροτός γ' ἐτέχθην,*
*Βιότου τρίβον ὁδεύειν,*
*Χρόνον, ὃς παρῆλθεν, ἔγνων·*
*Ὃν ἔχω δραμεῖν, τις οἶδε;*
*Μέθες οὖν με, φροντὶ δεινὴ,*
*Οὐδέν ἐστί σοί τε κἀμοί·*
*Πρὶν ἐμὲ φθάσῃ τελευτῆν,*
*Παίξω, γελάσω, χορεύσω,*
*Μετὰ τοῦ καλοῦ Λυαίου,*
*Μετὰ τῆς καλῆς Κυθήρης.*

## ΕΙΣ ἙΑΥΤΟΝ. κέ.

Ὅταν πίω τὸν οἶνον,
Εὕδουσιν αἱ μέριμναι·
Τί μοι γόων, τί μόχθων,
Τί μοι μέλει μεριμνῶν;
Θάνοιμι κἂν μελήσας.
Τί δὲ τὸν βίον πλανῶμαι;
Πίωμεν οὖν τὸν οἶνον,
Τὸν τοῦ καλοῦ Λυαίου·
Σὺν τῷ πιεῖν γὰρ ἡμᾶς,
Εὕδουσιν αἱ μέριμναι·

## ΕΙΣ ἙΑΥΤΟΝ. κϛʹ.

Ὅτ' εἰς με Βάκχος ἔλθῃ,
Εὕδουσιν αἱ μέριμναι·
Δοκῶν δ' ἔχειν τὰ Κροίσου,
Θέλω καλῶς ἀείδειν·
Κισσοστεφὴς δὲ κεῖμαι,
Πατῶ δ' ἅπαντα θυμῷ.
Ὅπλιζ', ἐγὼ δὲ πίνω.
Φέρε μοι κύπελλον, ὦ παῖ·
Μεθύοντα γάρ με κεῖσθαι
Πολὺ κρεῖσσον, ἢ θανόντα.

## ΕΙΣ ΔΙΟΝΥΣΟΝ. κζ'.

Τοῦ Διὸς ὁ παῖς ὁ Βάκχος,
Ὁ λυσίφρων, Λύαιος,
Ὅταν φρένας γ' ἐς ἁμὰς
Ἐσέλθῃ μεθυδώτης,
Διδάσκει με χορεύειν.
Ἔχω δὲ καὶ τι τερπνὸν
Ὁ τῆς μέθης ἐραστής.
Μετὰ κρότων, μετ' ᾠδῆς
Τέρπει με κ' Ἀφροδίτη,
Καὶ πάλι θέλω χορεύειν.

## ΠΡΟΣ ΤΟΝ ΖΩΓΡΑΦΟΝ, ΠΕΡΙ ΤΗΣ ʽΕΑΥΤΟΥ ΕΡΩΜΕΝΗΣ, κη΄.

Ἄγε, ζωγράφων ἄριστε,
Γράφε, ζωγράφων ἄριστε,
ʽΡοδίης κοίρανε τέχνης,
Ἀπεοῦσαν, ὡς ἂν εἴπω,
Γράφε τὴν ἐμὴν ἑταίρην.
Γράφε μοι τρίχας τοπρῶτον
Ἁπαλάς τε καὶ μελαίνας·
Ὁ δὲ κηρὸς ἂν δύνηται,
Γράφε καὶ μύρου πνεούσας.
Γράφε δ' ἐξ ὅλης παρειῆς

Ὑπὸ πορφυραῖσι χαίταις
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι
Διάκοπτε, μήτε μίσγε·
Ἐχέτω δ', ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυ,
Βλεφάρων δ' ἴτυν κελαινήν.
Τὸ δὲ βλέμμα νῦν ἀληθῶς
Ἀπὸ τοῦ πυρὸς ποίησον,
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης,
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα καὶ παρειὰς,
Ῥόδα τῷ γάλακτι μίξας·
Γράφε χεῖλος, οἷα Πειθοῦς,

*Προκαλούμενον φίλημα.*
*Τρυφεροῦ δ' ἔσω γενείου*
*Περὶ Λυγδίνῳ τραχήλῳ*
*Χάριτες πέτοιντο πᾶσαι.*
*Στόλισον τολοιπὸν αὐτὴν*
*Ὑποπορφύροισι πέπλοις·*
*Διαφαινέτω δὲ σαρκῶν*
*Ὀλίγον, τὸ σῶμ' ἐλέγχον.*
*Ἀπέχει· βλέπω γὰρ αὐτήν·*
*Τάχα, Κηρὲ, καὶ λαλήσεις.*

## ΠΡΟΣ ΤΟΝ ΖΩΓΡΑΦΟΝ, ΠΕΡΙ ΤΟΥ ΒΑΘΥΛΛΟΥ. κθ'.

Γράφε μοι Βάθυλλον οὕτω,
Τὸν ἑταῖρον, ὡς διδάσκω.
Λιπαρὰς κόμας ποίησον,
Τὰ μὲν ἔνδοθεν μελαίνας,
Τὰ δ' ἐς ἄκρον ἡλιώσας·
Ἕλικας δ' ἐλευθέρους μοι
Πλοκάμων, ἄτακτα συνθεὶς,
Ἄφες, ὡς θέλουσι, κεῖσθαι.
Ἁπαλὸν δὲ καὶ δροσῶδες
Στεφέτω μέτωπον ὀφρὺς,

Κυανωτέρη δρακόντων.
  Μέλαν ὄμμα γοργὸν ἔστω,
Κεκερασμένον γαλήνῃ·
Τὸ μὲν ἐξ Ἄρηος ἕλκον,
Τὸ δὲ τῆς καλῆς Κυθήρης·
Ἵνα τὶς τὸ μὲν φοβῆται,
Τὸ δ' ἀπ' ἐλπίδος κρεμᾶται.
  Ῥοδίνην δ', ὁποῖα μῆλον,
Χνοΐην ποίει παρειήν.
Ἐρύθημα δ', ὡς ἂν αἰδοῦς
Δύνασαι βαλεῖν, ποίησον.
  Τὸ δὲ χεῖλος οὐκέτ' οἶδα,
Τινί μοι τρόπῳ ποιήσεις,
Ἁπαλὸν, γέμον τε Πειθοῦς.

Τὸ δὲ πᾶν ὁ κηρὸς αὐτὸς
Ἐχέτω λαλῶν σιωπῇ.
Μετὰ δὲ πρόσωπον ἔστω,
Τὸν Ἀδώνιδος παρελθὼν,
Ἐλεφάντινος τράχηλος.
Μεταμάζιον δὲ ποίει,
Διδύμας τε χεῖρας Ἑρμέω,
Πολυδεύκεός τε μηροὺς,
Διονυσίην τε νηδύν.
Ἁπαλῶν δ' ὕπερθε μηρῶν,
Μηρῶν τὸ πῦρ ἐχόντων,
Ἀφελῆ ποίησον αἰδῶ,
Παφίην θέλουσαν ἤδη.
Φθονερὴν ἔχεις δὲ τέχνην,

Ὅτι μὴ τὰ νῶτα δεῖξαι
Δύνασαι· τὰ δ' ἦν ἀμείνω.
Τί με δεῖ πόδας διδάσκειν;
Λάβε μισθὸν, ὅσσον εἴπῃς·
Τὸν Ἀπόλλωνα δὲ τοῦτον
Καθελὼν, ποίει Βαθύλλον.
Ἢν δ' ἐς Σάμον ποτ' ἔλθῃς,
Γράφε Φοῖβον ἐκ Βαθύλλου.



## ΕΙΣ ΕΡΩΤΑ. λʹ.

Αἱ Μοῦσαι τὸν Ἔρωτα,
Δήσασαι στεφάνοισι,
Τῷ κάλλει παρέδωκαν·
Καὶ νῦν ἡ Κυθέρεια

Ζητεῖ λύτρα φέρουσα
Λύσασθαι τὸν Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,
Οὐκ ἔξεισι, μενεῖ δέ.
Δουλεύειν δεδίδακται.

## ΕΙΣ ἙΑΥΤΟΝ. λά.

Ἄφες με, τοὺς θεούς σοι,
Πιεῖν, πιεῖν ἀμυστί·
Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ᾽ Ἀλκμαίων τε,
Χὠ λευκόπους Ὀρέστης,
Τὰς μητέρας κτανόντες·

Ἐγὼ δὲ μηδένα κτὰς,
Πιὼν δ' ἐρυθρὸν οἶνον,
Θέλω, θέλω μανῆναι.
  Ἐμαίνεθ' Ἡρακλῆς πρὶν,
Δεινὴν κλονῶν φαρέτρην,
Καὶ τόξον Ἰφίτειον·
Ἐμαίνετο πρὶν Αἴας,
Μετ' ἀσπίδος κραδαίνων
Τὴν Ἕκτορος μάχαιραν.
  Ἐγὼ δ' ἔχων κύπελλον,
Καὶ στέμμα τοῦτο χαίταις,
Οὐ τόξον, οὐ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

## ΕΙΣ ΤΟΥΣ 'ΕΑΥΤΟΥ ΕΡΩ-ΤΑΣ. λϛ'.

Εἰ φύλλα πάντα δένδρων
Ἐπίστασαι κατειπεῖν,
Εἰ κυματῶδες εὑρεῖν
Τὸ τῆς ὅλης θαλάσσης,
Σὲ τῶν ἐμῶν ἐρώτων
Μόνον ποιῶ λογιστήν.
Πρῶτον μὲν ἐξ Ἀθηνῶν
Ἔρωτας εἴκοσιν θὲς,
Καὶ πεντεκαίδεκ' ἄλλους·
Ἔπειτα δ' ἐκ Κορίνθου

Θὲς ὁρμαθοὺς ἐρώτων·
Ἀχαΐης γάρ ἐστιν,
Ὅπου καλαὶ γυναῖκες.
Τίθει δὲ Λεσβίους μοι,
Καὶ μέχρι τῶν Ἰώνων,
Καὶ Καρίης, Ῥόδου τε,
Δισχιλίους ἔρωτας.
Τί φῄς; ἀεὶ κ' ἔρωτες;
Οὔπω Σύρους ἔλεξα,
Οὔπω πόθους Κανώβου,
Οὐ τῆς ἅπαντ' ἐχούσης
Κρήτης, ὅπου πόλεσσιν
Ἔρως ἐποργιάζει.
Τί σοι θέλεις ἀριθμεῖν

Τοὺς ἐκτὸς αὖ Γαδείρων,
Τῶν Βακτρίων τε κ' Ἰνδῶν,
Ψυχῆς ἐμῆς ἔρωτας;

## ΕΙΣ ΧΕΛΙΔΟΝΑ. λγ'.

Σὺ μὲν, φίλη χελιδὼν,
Ετησίη μολοῦσα,
Θέρει πλέκεις καλιὴν,
Χειμῶνι δ' εἶς ἄφαντος,
Ἢ Νεῖλον, ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
Ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μὲν πτεροῦται,

Ὁ δ' ᾠὸν ἐστιν ἀκμὴν,
Ὁ δ' ἡμίλεπτος ἤδη·
Βοὴ δὲ γίνετ' αἰεὶ
Κεχηνότων νεοττῶν.
Ἐρωτιδεῖς δὲ μικροὺς
Οἱ μείζονες τρέφουσιν;
Οἱ δὲ τραφέντες εὐθὺς
Πάλιν κύουσιν ἄλλους.
Τί μῆχος οὖν γένηται;
Οὐ γὰρ σθένω τοσούτους
Ἔρωτας ἐκβοῆσαι.

## ΕΙΣ ΚΟΡΗΝ. λδ'.

*Μή με φύγῃς, ὁρῶσα*
*Τὴν πολιὰν ἔθειραν·*
*Μηδ', ὅτι σοι πάρεστιν*
*Ἄνθος ἀκμαῖον ὥρης,*
*Τἀμὰ φίλτρα διώξῃς.*
*Ὅρα κἀν στεφάνοισιν,*
*Ὅπως πρέπει τὰ λευκὰ*
*Ῥόδοις κρίνα πλακέντα.*

## ΕΙΣ ΕΥΡΩΠΗΝ. λέ.

Ὁ ταῦρος οὗτος, ὦ παῖ,
Ζεύς μοι δοκεῖ τις εἶναι·
Φέρει γὰρ ἀμφὶ νώτοις
Σιδωνίην γυναῖκα.
Περᾷ δὲ πόντον εὐρὺν,
Τέμνει δὲ κῦμα χηλαῖς·
Οὐκ ἂν δὲ ταῦρος ἄλλος,
Ἐξ ἀγέλης ἐλασθεὶς,
Ἔπλευσε τὴν θάλασσαν,
Εἰ μὴ μόνος γ᾽ ἐκεῖνος.

## ΕΙΣ ΤΟ ΑΝΕΙΜΕΝΩΣ ΖΗΝ. λϛ'.

Τί με τοὺς νόμους διδάσκεις,
Καὶ ῥητόρων ἀνάγκας;
Τί δὲ μοι λόγων τοσούτων,
Τῶν μηδὲν ὠφελούντων;
Μᾶλλον δίδασκε πίνειν
Ἁπαλὸν πῶμα Λυαίου·
Μᾶλλον δίδασκε παίζειν
Μετὰ χρυσέης Ἀφροδίτης.
Πολιαὶ κάραν στέφουσι·
Δὸς ὕδωρ, βάλ' οἶνον, ὦ παῖ,

Ψυχὴν δ' ἐμοὶ κάρωσον.
Βραχὺ μὴ ζῶντα καλύπτεις·
Ὁ θανὼν οὐκ ἐπιθυμεῖ.

## ΕΙΣ ΤΟ ΕΑΡ. λζ'.

Ἴδε, πῶς ἔαρος φανέντος,
Χάριτες ῥόδα βρύουσιν·
Ἴδε, πῶς κῦμα θαλάσσης
Ἀπαλύνεται γαλήνῃ·
Ἴδε, πῶς νῆσσα κολυμβᾷ
Ἴδε, πῶς γέρανος ὁδεύει·
Ἀφελῶς δ' ἔλαμψε Τιτάν.
Νεφελῶν σκιαὶ δονοῦνται·

*Τὰ βροτῶν δ' ἔλαμψεν ἔργα·*
*Καρποῖσι γῆ προκύπτει·*
*Καρπὸς ἐλαίας προκύπτει·*
*Βρομίου στέφεται τὸ νᾶμα,*
*Κατὰ φύλλον, κατὰ κλῶνα,*
*Καθελὼν ἤνθισε καρπός.*

## *ΕΙΣ ἙΑΥΤΟΝ. λή.*

*Ἐγὼ γέρων μὲν εἰμι,*
*Νέων πλέον δὲ πίνω·*
*Κἂν δεήσῃ με χορεύειν,*
*Σκῆπτρον ἔχω τὸν ἀσκόν·*
*Νάρθηξ γὰρ οὐδὲν ἐστιν.*

Ὁ μὲν θέλων μάχεσθαι,
Παρέστι γὰρ, μαχέσθω.
Ἐμοὶ κύπελλον, ὦ παῖ,
Μελιχρὸν οἶνον ἡδὺν
Ἐγκεράσας, φόρησον.
Ἐγὼ γέρων μὲν εἰμι·
Σειληνὸν ἐν μέσοις δὲ
Μιμούμενος χορεύσω.



## ΕΙΣ ἙΑΥΤΟΝ. λθ'.

Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Τότε μευ ἦτορ ἰανθὲν
Μούσας ἄρχεται λιγαίνειν.
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Ἀποῤῥίπτεται μέριμνα,
Πολυφροντίδες τε βουλαὶ,
Ἐς ἀλικτύπους ἀήτας·
Ὅτ' ἐγὼ πίω τὸν οἶνον,
Φιλοπαίγμων τότε Βάκχος
Πολυανθέσιν μ' ἐν αὔραις

Δονέει μέθῃ γανώσας.
"Ότ' ἐγὼ πίω τὸν οἶνον,
Στεφάνους ἄνθεσι πλέξας,
'Επιθεὶς δὲ τῷ καρήνῳ,
Μέλπω βιότου γαλήνην.
"Ότ' ἐγὼ πίω τὸν οἶνον,
Μύρῳ εὐώδεϊ τέγξας
Δέμας, ἀγκάλαις δὲ κούρην
Κατέχων, Κύπριν ἀείδω.
"Ότ' ἐγὼ πίω τὸν οἶνον,
Υποκύρτοισι κυπέλλοις,
Τὸν ἐμὸν νόον γ' ἁπλώσας
Θιάσῳ γέγηθα κούρων.
"Ότ' ἐγὼ πίω τὸν οἶνον,

Τόδε μοι μόνῳ τὸ κέρδος·
Τόδ᾽ ἐγὼ λαϐὼν ἀποίσω.
Τὸ θανεῖν γὰρ μετὰ πάντων.

## ΕΙΣ ΕΡΩΤΑ. μ΄.

Ἔρως ποτ᾽ ἐν ῥόδοισι
Κοιμωμένην μέλιτ7αν
Οὐκ εἶδεν, ἀλλ᾽ ἐτρώθη·
Τὸν δάκτυλον δὲ δηχθεὶς
Τῆς χειρὸς, ὠλόλυξε.
Δραμὼν δὲ καὶ πετασθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,

Ὄλωλα, κἀποθνήσκω·
Ὄφις μ' ἔτυψε μικρὸς
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἡδ' εἶπεν, Εἰ τὸ κέντρον
Πονεῖ τὸ τῆς μελίττης,
Πόσον, δοκεῖς, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;





## ΕΙΣ ΣΥΜΠΟΣΙΟΝ. μά.

Ἱλαροὶ πίωμεν οἶνον,
Ἀνεμέλψομεν δὲ Βάκχον,
Τὸν ἐφευρέτην χορείης,
Τὸν ὅλας ποθοῦντα μολπὰς,

Τὸν ὁμότροπόν γ' Ἔρωτι,
Τὸν ἐρώμενον Κυθήρης·
Δι' ὃν ἡ Μέθη λοχεύθη,
Δι' ὃν ἡ Χάρις τ' ἐτέχθη,
Δι' ὃν ἀμπάυετο Λυπη,
Δί ὃν ευνάζετ' 'Ανίη.
Τὸ μὲν οὖν πῶμα κερασθὲν
'Απαλοὶ φέρουσι.παῖδες,
Τὸ δ' ἄχος πέφευγε μιχθὲν
'Ανεμοστρόφῳ θυέλλῃ.
Τὸ μὲν οὖν πῶμα λάβωμεν,
Τὰς δὲ φροντίδας μεθῶμεν·
Τί γὰρ ἐστὶ σοι τὸ κέρδος
'Οδυνωμένῳ μερίμναις;

Πόθεν οἴδαμεν τὸ μέλλον;
Ὁ βίος βροτοῖς ἄδηλος.
Μεθύων θέλω χορεύειν,
Μεμυρισμένος δὲ παίζειν
Μετὰ καὶ καλῶν γυναικῶν.
Μελέτω δὲ τοῖς θέλουσιν
Ὅσον ἐστὶν ἐν μερίμναις.
Ἱλαροὶ πίωμεν οἶνον,
Ἀναμέλψομεν δὲ Βάκχον.

## ΕΙΣ ἙΑΥΤΟΝ. μϚ'.

Ποθέω μὲν Διονύσου
Φιλοπαίγμονος χορείης·

Φιλέω δ' εὖτ' ἂν ἐφήϐου
Μετὰ συμποτου λυρίζω·
Στεφανίσκους δ' ὑακίνθων
Κροτάφοισιν ἀμφιπλέξας,
Μετὰ παρθένων ἀθύρειν
Φιλέω μάλιστα πάντων.
Φθόνον οὐκ οἶδ' ἐμὸν ἦτορ,
Φθονον οὐ δείδια δήκτην·
Φιλολοιδόροιο γλώττης
Φεύγω βέλεμνα κοῦφα.
Στυγέω μάχας παροίνους
Πολυκώμους κατὰ δαῖτας
Νεοθήλοις δ' ἅμα κοῦραις
Ὑπὸ βαρϐίτῳ χορεύων,

*Φέρε, φίλταται, λέγοιμι,*
*Βιόν ἥσυχον φέρωμεν.*

## ΕΙΣ ΤΕΤΤΙΓΑ. μγ'.

*Μακαρίζομέν σε, τέττιξ,*
*Ὅτι δενδρέων ἐπ' ἄκρων,*
*Ὀλίγην δρόσον πεπωκὼς,*
*Βασιλεὺς ὅπως, ἀείδεις·*
*Σὰ γάρ ἐστὶ κεῖνα πάντα,*
*Ὁπόσα βλέπεις ἐν ἀγροῖς,*
*Χὠπόσα φέρουσιν ὧραι.*
*Σὺ γὰρ εἶ φίλος γεωργῶν,*
*Ἀπὸ μηδενὸς τι βλάπτων.*

*Σὺ δὲ τίμιος βροτοῖσι,*
*Θέρεος γλυκὺς προφήτης.*
*Φιλέουσι μὲν σε Μοῦσαι,*
*Φιλέει δὲ Φοῖβος αὐτὸς,*
*Λιγυρὴν δ' ἔδωκεν οἴμην·*
*Τὸ δὲ γῆρας οὔ σε τείρει.*
*Σοφέ, γηγενὴς, φίλυμνε,*
*Ἀπαθὴς, ἄναιμ', ἄσαρκε,*
*Σχεδὸν εἶ θεοῖς ὅμοιος.*



## ΕΙΣ ΤΟ ἘΑΥΤΟΥ ΟΝΕΙΡΟΝ. μδ'.

Ἐδόκουν ὄναρ τροχάζειν,
Πτέρυγας φέρων ἐπ' ὤμων·
Ὁ δ' Ἔρως, ἔχων μόλυβδον
Περὶ τοῖς καλοῖς ποδίσκοις,
Ἐδίωκε, καὶ κίχανε.
Τί θέλει γ' ὄναρ τόδ' εἶναι;
Δοκέω δ' ἔγωγε πολλοῖς
Ἐν ἔρωσί με πλακέντα,
Διολισθάνειν ἐν ἄλλοις,
Ἐνὶ τῷδε συνδεθῆναι.




## ΕΙΣ ΤΑ ΕΡΩΤΟΣ ΒΕΛΗ. μέ.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης,
Παρὰ Λημνίαις καμίνοις,
Τὰ βέλη τὰ τῶν Ἐρώτων
Ἐποίει, λαβὼν σίδηρον.

Ἀκίδας δ' ἔβαπτε Κύπρις,
Μέλι τὸ γλυκὺ λαβοῦσα,
Ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
Ὁ δ' Ἄρης ποτ' ἐξ ἀϋτῆς,
Στιβαρὸν δόρυ κραδαίνων,
Βέλος ἠυτέλιζ' Ἔρωτος.
Ὁ δ' Ἔρως, Τόδ' ἐστὶν, εἶπὲ,
Βαρύ· πειράσας νόησεις.
Ἔλαβεν βέλεμνον Ἄρης·
Ὑπεμειδίασσε Κύπρις.
Ὁ δ' Ἄρης ἀναστενάξας,
Βαρὺ, φησίν, ἆρον αὐτό.
Ὁ δ' Ἔρως, Ἔχ' αὐτὸ, φησίν.

## ΕΙΣ ΕΡΩΤΑ. μς'.

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν δὲ καὶ φιλῆσαι·
Χαλεπώτερον δὲ πάντων
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος οὐδὲν εἰς Ἔρωτα·
Σοφίη, τρόπος, πατεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος αὐτὸς
Ὁ τὸν ἄργυρον φιλήσας·
Διὰ τοῦτον οὐκ ἀδελφὸς,

Διὰ τοῦτον οὐ τοκῆες
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, ὀλλύμεσθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

## ΕΙΣ ΓΕΡΟΝΤΑ. μζ'.

Φιλῶ γέροντα τερπνὸν,
Φιλῶ νέον χορευτήν·
Γέρων δ' ὅταν χορεύῃ,
Τρίχας γέρων μὲν ἐστι,
Τὰς δὲ φρένας νεάζει.

## ΑΛΛΟ ΩΔΑΡΙΟΝ. μή.

*Δότε μοι λύρην Ὁμήρου,*
*Φονίης ἄνευθε χορδῆς·*
*Φέρε μοι κύπελλα θεσμῶν,*
*Φέρε μοι νόμους κεράσσω,*
*Μεθύων ὅπως χορεύσω·*
*Ὑπὸ σώφρονος δὲ λύσσης,*
*Μετὰ βαρβίτων ἀείδων,*
*Τὸ παροίνιον βοήσω.*

## ΕΙΣ ΖΩΓΡΑΦΟΝ. μθʹ.

*Αγε, ζωγράφων ἄριστε,*
*᾿Λυρικῆς ἄκουε μούσης·*
*Γράφε τὰς πόλεις τοπρῶτον*
*Ἱλαράς τε καὶ γελώσας·*
*Φιλοπαίγμονάς τε Βακχας*
*Ἑτεροπνόοις ἐν αὐλοῖς.*
*Ὁ δὲ κηρὸς ἂν δύνηται,*
*Γράφε καὶ νόμους φιλούντων.*



## ΕΙΣ ΔΙΟΝΥΣΟΝ. ν'.

Ὁ τὸν ἐν πόνοις ἀτειρῆ,
Νέον ἐν πόθοις ἀταρβῆ,
Καλὸν ἐν πότοις χορευτὴν
Τελέων, θεὸς κατῆλθε,
Ἁπαλὸν βροτοῖσι φίλτρον,

Πότον ἄστονον, κομίζων·
Γόνον ἀμπέλου τὸν οἶνον
Πεπεδημένον γ' ὀπώραις
Ἐπὶ κλημάτων φυλάσσων.
Ἵν' ὅταν τάμωσι βότρυν,
Ἄνοσοι μένωσι πάντες,
Ἄνοσοι δέμας θεητὸν,
Ἄνοσοι γλυκύν τε θυμὸν,
Ἐς ἔτους φανέντος ἄλλου.

## ΕΙΣ ΔΙΣΚΟΝ, ΕΧΟΝΤΑ ΑΦΡΟΔΙΤΗΝ. νά.

Ἄρα τὶς τόρευσε πόντον,
Ἄρα τὶς μανεῖσα τέχνη

Ἀνέχευε κῦμα δίσκῳ,
Ἐπὶ νῶτα τῆς θαλάσσης
Ἄρα τὶς ὑπὲρ θάλασσαν
Ἀπαλὴν χάραξε Κύπριν,
Νόος ἐς θεοὺς ἀερθεὶς,
Μακάρων φύσιος ἀρχήν.
Ὁ δὲ νιν ἔδειξε γυμνὴν
Χ' ὅσα μὴ θέμις ὁρᾶσθαι,
Μόνα κῦμα συγκαλύπτει·
Ἀλαλημένη δ' ἐπ' αὐτὴ,
Βρύον ὣς ὕπερθε λευκὸν,
Ἁπαλόχροος γαλήνης,
Δήμας εἰς πλόον φέρουσα
Ῥόθιον πάροιθεν ἕλκει·

Ῥοδέων ὕπερθε μαζῶν,
Ἁπαλῆς ἔνερθε δειρῆς,
Μέγα κῦμα πρῶτα τέμνει.
Μέσον αὔλακος δὲ Κύπρις,
Κρίνον ὣς ἴοις ἑλιχθὲν,
Διαφαίνεται γαλήνης.
Ὑπὲρ ἀργύρῳ δ' ὀχοῦνται,
Ἐπὶ δελφίσιν χορευταις,
Δολεροὶ νέον μέτωπον,
Ἔρος, Ἵμερος, γελῶντες·
Χορὸς ἰχθύων δὲ κυρτὸς,
Ἐπὶ κυμάτων κυβιστῶν,
Παφίης ἐς ὄμμα παίζει,
Ἵνα νήχεται γελῶσα.

## ΕΠΙΛΗΝΙΟΣ ὙΜΝΟΣ. νϛ'.

*Τὸν μελανόχρωτα βότρυν*
*Ταλάροις φέροντες ἄνδρες,*
*Μετὰ παρθένων, ἐπ' ὤμων·*
*Κατὰ ληνὸν δὲ βαλόντες*
*Μόνον ἄρσενες πατοῦσι*
*Σταφυλὴν, λύοντες οἶνον,*
*Μέγα τὸν θεὸν κροτοῦντες*
*Ἐπιληνίοισιν ὕμνοις,*
*Ἐρατὸν πίθοις ὁρῶντες*
*Νέον ἐς ζέοντα Βάκχον.*

Ὃν ὅταν πίῃ γεραιὸς,
Τρομεροῖς ποσὶν χορεύει,
Πολιάς τρίχας τινασσων·
Ὁ δὲ, παρθένον λοχήσας,
Ἐρατὸς νέος μεθυσθεὶς,
Ἁπαλὸν δέμας χυθεῖσαν,
Σκιερῶν ὕπερθε φύλλων,
Βεβαρημένην ἐς ὕπνον,
Ἐς Ἔρωτ' ἄωρα θέλγει
Προδότιν γάμων γενέσθαι.
Ὁ δὲ μὴ λόγοισι πείθων,
Τότε μὴ θέλουσαν ἄγχει·
Μετὰ γὰρ νέων ὁ Βάκχος
Μεθύων ἄτακτα παίζει.

## ΕΙΣ ΡΟΔΟΝ. νγ´.

Στεφανηφόρου μετ' ἦρος
Μέλπομαι ῥόδον θέρειον·
Σὺν, ἑταῖρ', ἄεξε μολπὴν.
  Τόδε γὰρ θεῶν ἄημα,
Τόδε γὰρ βροτῶν τὸ χάρμα,
Χάρισίν τ' ἄγαλμ', ἐν ὥραις
Πολυανθέων ἐρώτων·
'Αφροδίσιόν τ' ἄθυρμα.
  Τόδε καὶ μέλημα μύθοις
Χαρίεν φυτόν τε Μουσέων·

Γλυκὺ καὶ ποιοῦντι πεῖραν
Ἐν ἀκανθίναις ἀταρποῖς·
Γλυκὺ δ' αὖ λαβόντι θάλπειν
Μαλακαῖσι χερσὶ, κούφως
Προσάγοντ' Ἔρωτος ἄνθος.
Ὡς σοφῷ τόδ' αὐτὸ τερπνὸν
Θαλίαις τε καὶ τραπέζαις,
Διονυσίαις θ' ἑορταῖς.
Τί δ' ἄνευ ῥόδου γένοιτ' ἄν;
Ῥοδοδάκτυλος μὲν Ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι,
Ῥοδόχρους δὲ κ' Ἀφροδίτη
Παρὰ τῶν σοφῶν καλεῖται.
Τόδε καὶ νοσοῦσιν ἀρκεῖ·

*Τόδε καὶ νεκροῖς ἀμύνει·*
*Τόδε καὶ χρόνον βιᾶται.*
*Χαρίεν ῥόδων δὲ γῆρας*
*Νεότητος ἔσχεν ὀδμήν.*
*Φέρε δή, φυλὴν λέγωμεν·*
*Χαροπῆς ὅτ' ἐκ θαλάττης*
*Δεδροσωμένην Κυθήρην*
*Ἐλόχευε πόντος ἀφρῷ,*
*Πολεμόκλονον τ' Ἀθήνην*
*Κορυφῆς ἐδείκνυε Ζεύς,*
*Φοβερὰν θέαν Ὀλύμπῳ·*
*Τότε καὶ ῥόδων ἀγητῶν*
*Νέον ἔρνος ἤνθισε χθὼν*
*Πολυδαίδαλον λόχευμα.*

Μακάρων θεῶν δ' ὅμιλος,
'Ρόδον ὡς γένοιτο, νέκταρ
'Επιτέγξας, ἀνέτειλεν
'Αγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίου.

## ΕΙΣ ἙΑΥΤΟΝ. νδ'.

Ὅτ' ἐγὼ νέων ὅμιλον
'Εσορῶ, πάρεστιν ἥβη·
Τότε δὴ, τότ' ἐς χορείην
Ὁ γέρων ἐγὼ πτεροῦμαι.
Περίμεινόν με, Κυβήβα,
'Ρόδα δὸς, θέλω στέφεσθαι·

Πολιὸν δὲ γῆρας ἧκας,
Νέος ἐν νέοις χορεύσω.
Διονυσίης δὲ μοί τις
Φερέτω δῶρον ὀπώρης,
Ἵν᾽ ἴδῃ γέροντος ἀλκὴν,
Δεδαηκότος μὲν εἰπεῖν,
Δεδαηκότος δὲ πίνειν,
Χαριέντως τε μανῆναι.



## ΕΙΣ ΤΟΥΣ ΕΡΩΝΤΑΣ. νέ.

*Ἐν ἰσχίοις μὲν ἵπποι*
*Πυρὸς χάραγμ' ἔχουσι·*
*Καὶ Παρθίους τὶς ἄνδρας*
*Ἐγνώρισεν τιάραις·*
*Ἐγὼ δὲ τοὺς ἐρῶντας*
*Ἰδὼν ἐπίσταμ' εὐθύς·*
*Ἔχουσι γάρ τι λεπτὸν*
*Ψυχῆς ἔσω χάραγμα.*

## ΕΙΣ ΤΟ ΓΗΡΑΣ. νϛʹ.

*Πολιοὶ μὲν ἧμιν ἤδη*
*Κρόταφοι, κάρη δὲ λευκόν·*
*Χαρίεσσα δ' οὐκ ἔθ' ἥβη*
*Πάρα· γηραλέοι δ' ὀδόντες.*
*Γλυκεροῦ δ' οὐκ ἔτι πολλὸς*
*Βιότου χρόνος λέλειπται.*
*Διὰ ταῦτ' ἀνασταλύζω*
*Θαμὰ, Τάρταρον δεδοικώς·*
*Ἀΐδεω γὰρ ἐστι δεινὸς*
*Μυχός· ἀργαλέη δ' ἐς αὐτὸν*

*Κάθοδος· καὶ γὰρ ἕτοιμον*
*Καταβάντι μὴ ʼναβῆναι.*

## ΟΤΙ ΠΙΝΕΙΝ ΔΕΙ ΜΕΤΡΙΩΣ. νζ΄.

*Ἄγε δὴ, φέρ' ἡμιν, ὦ παῖ,*
*Κελέβην, ὅπως ἄμυστιν*
*Προπίω· τὰ μὲν δέκ' ἔγχει*
*Ὕδατος, τὰ πέντε δ' οἴνου*
*Κυάθους· ὑβριστιῶσαν*
*Φρένα δεῦε Βασσάρῃσιν.*
*Ἄγε, δῶτε· μηκέθ' οὕτω,*
*Πατάγῳ τε κἀλαλητῷ,*
*Σκυθικὴν πόσιν παρ' οἴνῳ*

Μελετῶμεν· ἀλλὰ καλοῖς
Ὑποπινόμεσθ' ἐν ὕμνοις.

## ΕΙΣ ΕΡΩΤΑ. νή.

Τὸν Ἔρωτα γὰρ τὸν ἁβρὸν
Μέλπομαι, βρύοντα μίτραις
Πολυανθέμοις, ἀείδων·
Ὅδε καὶ θεῶν δυνάστης,
Ὅδε καὶ βροτοὺς δαμάζει.

## ΑΝΑΚΡΕΟΝΤΕΙΟΝ. νθʹ.

*Στέφος πλέκων πόθ᾽ εὗρον*
*᾽Εν τοῖς ῥόδοις ῎Ερωτα,*
*Καὶ τῶν πτερῶν κατασχὼν*
*᾽Εβάπτισ᾽ ἐς τὸν οἶνον·*
*Λαβὼν δ᾽ ἔπινον αὐτὸν·*
*Καὶ νῦν ἔσω μελῶν μου*
*Πτεροῖσι γαργαλίζει.*

## ΛΙΤΑΝΕΙΑ. ξ'.

Γουνοῦμαί σ', ἐλαφηβόλε,
Ξανθὴ παῖ Διὸς, ἀγρίων
Δέσποιν', Ἄρτεμι, θηρῶν.
Ἵκου νῦν ἐπὶ Ληθαίου
Δίνησι· θρεοκαρδίων
Ἀνδρῶν ἐγκαθόρα πόλιν
Χαίρουσ'· οὐ γὰρ ἀνημέρους
Ποιμαίνεις πολιήτας.

## ΠΡΟΣ ΑΥΘΑΔΗ ΠΑΡΘΕΝΟΝ. ξά.

Πῶλε Θρηκίη, τί δή με,
Λοξὸν ὄμμασι βλέπουσα,
Νηλεῶς φεύγεις, δοκέεις δὲ
Μ' οὐδὲν εἰδέναι σοφόν γε;
Ἴσθι τοι, καλῶς μὲν ἄν τοι
Τὸν χαλινὸν ἐμβάλοιμι,
Ἡνίας δ' ἔχων στρέφοιμι
Ἀμφὶ τέρματα δρόμοιο.
Νῦν δὲ λειμῶνάς τε βόσκεαι,
Κοῦφά τε σκιρτῶσα παίζεις·

Δεξιὸν γὰρ ἱπποπείρην
Οὐκ ἔχεις ἐπεμβατεύειν.

## ΕΠΙΘΑΛΑΜΙΟΣ ῾ΥΜΝΟΣ.

ξβʹ.

Θεάων ἄνασσα, Κύπρι,
Ἵμερε, κράτος χθονίων,
Γάμε, βιότοιο φύλαξ,
῾Υμέας λόγοις λιγαίνω,
῾Υμέας στίχοις κυδαίνω,
Ἵμερον, Γάμον, Παφίην.
Δέρκεο τῆν νεῆνιν, δέρκεο, κοῦρε·
Ἔργεο, μή σε φύγῃ πέρδικος ἄγρα.

Στρατόκλεις, φίλος Κυθήρης,
Στρατόκλεις, ἄνερ Μυρίλλης,
Ἴδε τὴν φίλην γυναῖκα·
Κομάει, τέθηλε, λάμπει.
Ῥόδον ἀνθέων ἀνάσσει,
Ῥόδον ἐν κόραις Μύριλλα.
Ἥλιος τὰ σέθεν δέμνια φαίνοι.
Κυπάριττος δὲ πεφύκοι σεῦ ἐνὶ
κήπῳ.

## ΠΕΡΙ ΑΝΑΚΡΕΟΝΤΟΣ. ξγ.

Ἀνακρέων ἰδών με,
Ὁ Τήϊος μελῳδὸς,
Ὄναρ λέγων, προσεῖπε.

*Κἀγὼ δραμὼν πρὸς αὐτὸν*
*Περιπλάκην φιλήσας.*
*Γέρων μὲν ἦν, καλὸς δὲ,*
*Καλός τε καὶ φίλευνος·*
*Τὸ χεῖλος ὦζεν οἴνου.*
*Τρέμοντα δ' αὐτὸν ἤδη*
*Ἔρως ἐχειραγώγει.*
*Ὁ δ' ἐξελὼν καρήνου*
*Ἐμοὶ στέφος δίδωσι·*
*Τὸ δ' ὦζ' Ἀνακρέοντος.*
*Ἐγὼ δ' ὁ μωρὸς ἄρας*
*Ἐδησάμην μετώπῳ·*
*Καὶ δῆθεν ἄχρι καὶ νῦν*
*Ἔρωτος οὐ πέπαυμαι.*

## ʽΥΜΝΟΣ ΕΙΣ ΑΠΟΛΛΩΝΑ.

ξδ΄.

Ἀνὰ βάρβιτον δονήσω·
Ἄεθλος μὲν οὐ πρόκειται,
Μελέτη δ᾽ ἔπεστι παντὶ
Σοφίης λαχόντ᾽ ἄωτον.
Ἐλεφαντίνῳ δὲ πλήκτρῳ
Λιγυρὸν μέλος κροαίνων
Φρυγίῳ ῥυθμῷ βοήσω,
Ἅτε τὶς κύκνος Καΰστρου,
Πολιοῖς πτεροῖσι μέλπων
Ἀνέμου σύναυλον ἠχήν.

Σὺ δὲ, Μοῦσα, συγχόρευε·
Ἱερὸν γάρ ἐστι Φοίϐου
Κιθάρη, δάφνη, τρίπους τέ.
Λαλέω δ' ἔρωτα Φοίϐου,
Ἀνεμώλιον τὸν οἶστρον·
Σαόφρων γάρ ἐστι κούρη·
Τὸ μὲν ἐκπέφευγε κέντρον,
Φύσεως δ' ἄμειψε μορφὴν,
Φυτὸν εὐθαλὲς δ' ἐπήχει.
Ὁ δὲ Φοῖϐος, ᾖε Φοῖϐος,
Κρατέειν κόρην νομίζων·
Χλοερὸν δρέπων δὲ φύλλον
Ἐδόκει τελεῖν Κυθήρην.
Ἄγε, θυμὲ, πῆ μέμηνας,

*Μανίην μανεὶς ἀρίστην;*
*Τὸ βέλος φέρε κρατύνων,*
*Σκοπὸν ὡς βαλὼν ἀπέλθῃς·*
*Τὸ δὲ τόξον Ἀφροδίτης*
*Ἄφες, ᾧ θεοὺς ἐνίκα.*
*Τὸν Ἀνακρέοντα μιμοῦ,*
*Τὸν ἀοίδιμον μελιστήν·*
*Φιάλην πρόπινε παισὶ,*
*Φιάλην λόγων ἐραννὴν,*
*Ἵνα νέκταρος ποτοῖο*
*Παραμύθιον λαβόντες,*
*Φλογερὸν φυγόντες ἄστρον,*
*(Νοερὸν πίωσιν οἶνον.)*



## ΕΙΣ ΧΡΥΣΟΝ. ξέ.

Ὁ δραπέτης ὁ χρυσὸς
Ὅταν φύγῃ μὲ κραιπνοῖς,
Διηνέμοις τε, ταρσοῖς,
Ἀεὶ δ', ἀεὶ με φεύγει·

*Οὔ μιν δίοιμι· τίς γὰρ*
*Μισοῦν θέλει τι θηρᾶν;*
*Ἐγὼ δ' ἄφαρ λιασθεὶς*
*Τοῦ δραπέταο χρυσοῦ,*
*Ἐμῶν φρενῶν μὲν αὔραις*
*Φέρειν ἔδωκα λύπας·*
*Λύρην δ' ἑλὼν ἀείδω*
*Ἐρωτικὰς ἀοιδάς.*
*Παλιν δ' ὅταν μὲ θυμὸς*
*Ὑπερφρονεῖν διδάξῃ,*
*Προσεῖφ' ὁ δραπέτης με,*
*Φέρων μέθην ἄφροντιν,*
*Ἑλών μιν ὡς μεθήμων*
*Λύρης γένοιμι δηρόν.*

Ἄπιστ᾽, ἄπιστε χρυσὲ,
Ἔς τ᾽ ἂν δόλοις μὲ θέλγῃς;
Πλέον τὰ νεῦρα χρυσοῦ,
Πόθους πλέον τ᾽ ἀείδειν.
Σὺ γὰρ δόλῳ φθόνῳ τὲ
Ἔρωτ᾽ ἔθης ἄφαντον,
Λύρην τε χρυσόπαστον·
Φιλημάτων δὲ κεδνῶν,
Πόθων, κύπελλα κίρνης·
Ὅταν θέλῃς δὲ, φεύγεις·
Ξένοισι δ᾽ ἄγχι Μυσῶν
Δολίοις, ἄπιστ᾽, ἀρέσκεις·
Ἐμοὶ δὲ τῷ λυρῳδῷ
Μούσας ποιεῖς ἀποίκους.

*Λύρης δ' ἐμῆς ἀοιδὴν*
*Οὐκ ἂν λίποιμι τυτθόν.*
*(Σὺ, χρυσὲ, γοῦν ἄπελθε)*
*Ἀχανδέας δ' ὀρίνοις,*
*Αἴγλην τὲ λαμπυρίζοις.*

## ΕΙΣ ΤΟ ΕΑΡ. ξϛʹ.

*Τί κάλλιόν ἐστι βαδίζειν,*
*Ὅπου λειμῶνες κομῶσιν,*
*Ὅπου λεπτὴν ἡδυτάτην*
*Ἀναπνεῖ ζέφυρος αὔρην;*
*Κλῆμα τὸ Βάκχειον ἰδεῖν,*
*Χ' ὑπὸ τὰ πέταλα δῦναι,*

Ἀπαλὴν παῖδα κατέχειν,
Κύπριν ὅλην πνέουσαν;
(Οὐ τόδε τοί καλόν ἐστιν;)

ΞΖʹ.

Ξανθῇ δ' Εὐρυπύλῃ μέλει.
Ὁ περιφόρητος Ἀρτέμων.
Πρὶν μὲν ἔχων βερβέρια,
Καλύμματ' ἐσφηκωμένα,
Καὶ ξυλίνους ἀστραγάλους
Ἐν ποσὶ, καὶ ψιλὸν
Περὶ πλευρῇσι βοὸς
Νεόπλυτον εἴλημα
Κακῆς ἀσπίδος·

*Ἀρτοπώλῃσι κἠθελοπόρνοισιν ὁμι-*
*λέων*
*Ὁ παμπόνηρος Ἀρτέμων*
*Κίβδηλον εὕρισκεν βίον,*
*Πολλὰ μὲν ἐν δουρὶ τιθεὶς*
*Αὐχένα, πολλὰ δ' ἐνὶ τροχῷ,*
*Πολλὰ δ' ἐν νώτῳ σκυτίνᾳ*
*Μάστιγι θωμιχθεὶς, κόμην*
*Πώγωνά τ' ἐκτετιλμένος·*
*Νῦν δ' ἐπιβαίνει σατινέων,*
*Χρύσεια φορέων καθέρματα*
*Παῖς Κύκης,*
*Καὶ σκιαδίσκην ἐλεφαντίνην*
*Φορεῖ γυναιξὶν αὔτως.*

ξή.

Ὦ ναξ, πανδαμάτωρ Ἔρως,
Αἵ νύμφαι κυανώπιδες,
Πορφυρέη τ' Ἀφροδίτη,
Χρυσῷ δὴ εἰκασμένη,
Συμπαίζουσιν· ἐπιστρέφεαι
Δ' ὑψηλῶν κορυφὰς ὀρέων·
Γουνοῦμαί σε· σὺ δ' εὐμενὴς
Ἔλθ' ἡμῖν· κεχαρισμένης δ'
Εὐχωλῆς ἐπάκουσον.
Κλευβούλῳ δ' ἀγαθὸς γένου
Σύμβουλος· τὸν ἐμὸν δ' ἔρον
Οἶδ', εὖ νῦν σε δεχέσθαι.

ξθ.

Φέρ' αἶρέ με πορφυρέη
Ἐνιβάλλων, χρυσοκόμης
Ἔρως, ἐν νεφέλῃ,
Ποικίλῃσι λαμβάνων πτερύγεσσι·
(Σὰ γὰρ φίλτρ' ἐμὸν ἦτορ)
Συμπαίζειν προκαλεῖται·
Ἡδ', ἔστιν γὰρ ἀπ' εὐκτίτου
Λέσβου, την μὲν ἐμὴν κόμην,
Λευκὴ γὰρ, καταμέμφεται·
Πρὸς δ' ἄλλον τινὰ χάσκει.

# VARIÆ LECTIONES.

# VARIÆ LECTIONES.

### ODE I. Page 1.

Ver. 3. Α βάρϐιτος. Parma, Faber, Baxter, et Pauw.

### ODE II. Page 2.

Ver. 7. Ανδρασι. Parma, Faber, Baxter, Pauw, et Trapp.

8. Οὐκ ἐπεῖχεν. Barnes.

10. Ἁπασῶν. Parma, Faber, Baxter, Pauw, et Trapp.

### ODE III. Page 4.

Ver. 3. Βοώτου. Parma, Faber, Baxter, Pauw, et Trapp.

7. Θυραων. Vatican.

9. Σχισας. Trapp.

17. Φερον δε τοξον. H. Steph.

Ver. 19. Καθίσας. Parma, Faber, Pauw.
Καθιξας. Baxter.
25. Εστί. Parma, Faber, Pauw.
Ες τι. Baxter.

ODE IV. Page 7.

Ver. 6. Διακονείτω. Parma, Faber, Baxt. Pauw.
16. Πρὶν ερῶ σε, δεῖ μ' ἀπελθειν. Baxt.

ODE V. Page 9.

Ver. 2. Αναμίξωμεν. Baxter.
5. Πινωμεν. Parma, Faber, Baxter, Pauw, et Trapp.
6. Το ῥοδον φέριϛον ἄνθος. Brunck.
7. Εαρος. Parma, Faber, et Pauw.
9. Ῥόδα, τοῖς ὁ πᾶις Κυθηρῆς. Brunck.
12. Λυρισω. Parma, Faber, et Pauw
Λυρίζω. Baxter.
Στεφωμεθ' οὖν λυρίξων. Brunck.

ODE VI. Page 10.

Tit. Ἐις τὸ ἀυτό. Parma, Faber, et Pauw.

Εις συμποσιον. Trapp.

Ver. 4. Κούρα. Parma, Faber, Baxter, Trapp, et Pauw.

5. Κατα κισσοῖσι. Parma, Faber, Baxter, et Pauw.

Βρεμοντας. Parma, Faber, Baxter, Trapp, et Pauw.

8. Ἁβροχαίτας. Parma, Fab. Baxt. et Pauw.

10. 11. } Αθυρων προχεει. Parma, Fab. Baxt. Trapp, et Pauw.

11. Ὀμφάν. Parma, Fab. Baxt. et Pauw.

12. Χρυσοχαίτας. Parm. Fab. Baxt. et Pauw.

14. Καὶ τῆς. Parma, Fab. et Pauw.

ODE VII. Page 12.

Ver. 1. Υακινθίνῃ. Parma, Fab. Trapp, et Pauw.

2. Βαδιζων. Parma, Faber, Baxter, et Pauw.

10. Εἶπεν. Parma, Faber, et Pauw.

ODE VIII. Page 13.

Ver. 11. Εθέλοντα δὲ φιλῆσαι. Parma, Fab. Baxt. Trapp, et Pauw.

ODE IX. Page 14.

Ver. 2. Πετασαι. Parma, Fab. Baxt. et Pauw.

6. Τίς ἐστι, σοὶ μέλει δέ; Parm. Fab. et Baxt.

Τι δ' εστι. Trapp.

21. Πέτεσθαι. Parma et Pauw.

23. Δένδρεσι. Parma.

31. Και δεσπότην Ανακρέοντα. Parma, Fab. et Pauw.

ODE X. Page 17.

Ver. 8. Ὅμως δ' ἂν. Parma, Fab. Pauw, Baxter.

10. Συνοικεῖν. Parma, Faber, Pauw,

11. Παντορεκτη. Pauw, Fab. Parma. Baxter.

13. Συνευνον. Parma, Trapp, Pauw, Baxter.

ODE XI. Page 19.

Ver. 10. Τὰ τερπνὰ. Pauw, Fab. Parma.

ODE XII. Page 20.

Ver. 2. Τί σοι, λάλη χελιδών; Pauw, Parma, Trapp, Baxter, Faber.

ODE XIII. Page 21.

Tit. Εις ἑαυτόν. Pauw, Trapp, Baxter, Faber.

ODE XV. Page 24.

Tit. Εις ἑαυτόν. Pauw, Trapp, Baxter, Faber.

Ver. 11. Ως οὖν. Parma, Pauw, Baxter, Faber.

15. Μὴ δεῖ, Pauw. Faber, Parma.

ODE XVI. Page 25.

Ver. 5. Οὐχὶ νῆες. Pauw, Faber, Baxt.

ODE XVIII. Page 28.

Ver. 1. Καλὴ τέχνα, τόρευσον. Pauw, Parma, Faber, Baxter.

2. Εαρος. Pauw, Parma, Baxter, Faber.

4. Ῥοδα. Pauw, Baxter, Faber.

5. Αργύριον. Pauw, Faber, Baxt.

10. —— Διός τε
11. Γονην Ἔυϊον ἥμιν. } Baxter.

12. Μύστις νάματος ἡ Κύπρις. Pauw.
Μυηςτηνθ᾽, ἅματε Κύπριν. Baxter.

Ver. 13. Κροτοῦσα. Pauw.
Κροτοῦσαν. Baxter.

ODE XIX. Page 29.

Ver. 2. Δενδρεα δ' αυτήν. Vatican.

ODE XX. Page 30.

Tit. Εις Κόρην. Pauw, Parma, Baxt.
Ver. 10. Σεῦ χρῶτα. Vatican.
14. Μάργαρος. Vatican.
16. Πάτει. Vatican, Brunck.

ODE XXI. Page 32.

Ver. 1. Δότε γυναῖκες. Vatican.
3. 'Από καύματος. Vatican.
5. Εκείνου. Pauw, Faber, Baxter.
9. Σκεπάζω. Pauw, Vatic. Baxt.

ODE XXII. Page 33.

Ver. 3. Σίει. Pauw.
'Απαλας δ' ἐσεισε. Vatican.
5. Αὐτόν. Vatican.

Ver. 8. Τοιοῦτο. Vatican.

ODE XXIII. Page 34.

Ver. 2. Παρεῖχε βροτοῖς. Vatican.
4. Ιν' ασθενεῖν ἐπελη. Vatican.
6. Εἰ δ' οὖν μὴ τὸ πρίασθαι. Vatic.
16. Τὰν Αφροδίταν. Pauw.

ODE XXIV. Page 36.

Ver. 1. Ετύχθην. Vatican.
3. Χρόνον ἔγνων, ὃν παρῆλθον, } Pauw,
4. Ον δ' ἔχω δραμεῖν, ουκ οἶδα. } Faber.
7. Φθάσῃ τὸ τέλος. Pauw, Baxter.

ODE XXV. Page 37.

Ver. 1. Πίνω. Pauw, Trapp, Fab. Baxt.
3. Τί μοι πόνων, τι μοι γόων. Vatic. Pauw, Faber, Parma.
5. Θανεῖν με δεῖ, κἂν μὴ θέλω. Pauw, Faber.
Θανεῖν με δεῖ, κἄκοντα. Baxter.

ODE XXVI. Page 38.

Ver. 1. Οταν ὁ βάκχος εισέλθῃ. Pauw, Parma, Faber, Baxter.

ODE XXVII. Page 39.

Ver. 3. Οταν εἰς φρένας τὰς ἐμὰς. Pauw. Ἁμας. Faber, Parma.

7. Ο τᾶς μέθας ἐραστάς. Pauw, Fab. Baxter.

9. Αφροδίτα. Pauw.

10. Πάλιν. Pauw, Faber, Baxter, Parma.

ODE XXVIII. Page 40.

Tit. Εις Κορην. Vatican.

Ver. 3. Ῥοδέης. Pauw, Faber.

16. Σύνοφρυν. Pauw, Faber, Baxter.

22. Ῥῖνας. Vatican.

23. Τα γαλακτι. Vatican.

ODE XXIX. Page 43.

Tit. Εις νεωτερον βαθυλλον. Vatican.
Ver. 4. Τὰς μὲν. Vatican.
5. Τὰς δε. Vatican.
14. Ἄρεος ἕλκων. Vatican.
16. Φοβεῖται. Vatican.
17. Του δ' απ'. Vatican.
24. Γέμον τὸ. Vatican.
27. Μέγα δὲ. Pauw, Faber, Baxter.
28. Τὸ δ' Αδωνιδος παρῆλθον. Pauw, Baxter, Faber.
39. Ὅτι μοι τὰ. Vatican.

ODE XXX. Page 47.

Ver. 8. Ἔξεισιν. Vatican.

ODE XXXI. Page 48.

Ver. 5. Χ' ὁ λευκόπους. Pauw, Faber, Parma, Baxter.

ODE XXXII. Page 50.

Ver. 3. Ἠμαθῶδες. Pauw, Faber, Baxt.
Κυμαθῶδες. Vatican.
6. Ποῶ. Vatican.
13. Καλλιγυναῖκες. Vatican.
16. Καὶ καρίην ῥόδον τε. Vatican.
18. Τί φῂς ἀιεὶ κηρωθέις. Pauw. Fab. Parma.
Τι φής; αιει κηρῷ θες. Baxter.
25. Καὶ τοὺς Γαδείρων ἐκτός. Vatican.

ODE XXXIII. Page 52.

Ver. 2. Ἐτισίη. Vatican.
7. Κραδίῃ. Vatican.
10. Ὁ δ' ἡμιν ληπτός. Vatican.

ODE XXXIV. Page 54.

Ver. 4. Ὥρας. Pauw.
5. Δῶρα τὰ φίλτρα διώξεις. Vatican.

ODE XXXVI. Page 56.

Ver. 8. Κρυσῆς. Pauw, Faber, Baxter, Parma, Trapp.
9. Πολιαν. Faber.
Πολιοι. Baxter.
11. Τὴν ψυχήν μου κάρωσον. Pauw, Baxter, Trapp, Faber.

ODE XXXVII. Page 57.

Ver. 2. Βρύουσι ῥόδα. Vatican.
13. Κατὰ κλόνον. Vatican.
14. Ἤνθησε. Pauw, Trapp, Parma, Faber.

ODE XXXVIII. Page 58.

Ver. 4. Ἔχων. Vatican.
5. Ο νάρθηξ δ' ουδὲν ἐστίν. Pauw, Baxt. Faber.
7. Παρέστι καὶ. Faber.
Παρέστω. Pauw, Baxter.
9. Μελίχρουν. Vatican.

Ver. 12. Μέσοισι. Pauw, Baxter, Faber, Parma.

## ODE XXXIX. Page 60.

Ver. 5. Ἀπὸῤῥίπτανται. Vatican.
Ἀποῤῥίπτονται μέριμναι. Pauw, Fab. Baxter.
9. Λυσιπαίγμων. Pauw, Baxt. Fab.
10. Πολυανθεσιν ἐν ἄοραις. Vatican.
21. Ὑπὸ κυρτοῖς δὲ. Pauw, Baxter, Faber, Parma.
23. Θιάσῳ τέρπομαι. Pauw, Baxter, Faber, Parma.
25. Τοῦτο μοι. Vatican.
26. Τοῦτ' ἐγώ. Vatican.

## ODE XL. Page 62.

Ver. 5. Τᾶς χειρὸς. Pauw, Parma, Baxter, Faber.
Της χειρος. Trapp.
13. Α δ' ἔιπεν. Pauw, Baxt. Faber.
14. Τᾶς μελίττας. Pauw, Baxt. Fab.

ODE XLI. Page 64.

Ver. 3. Ἐφευρετὰν χορείας. Pauw, Faber, Baxter.
9. Λύπα. Pauw, Baxter, Faber, Parma.
10. Ἀνία. Pauw, Parma, Baxter, Faber.
14. Ανεμοτρόπῳ. Vatican, Pauw.
17. Σοι κέρδος. Vatican, Pauw.
18. Οδυρωμένῳ. Pauw, Parma, Fab. Baxter.
24. Θέλουσι. Vatican.

ODE XLII. Page 66.

Ver. 2. Χορείας. Pauw, Faber, Baxter.
3. Ὅτ' ἂν. Vatican.
10. Φθόνον οὐκ οἶδα δαϊκτον. Pauw, Parma.
11. Φιλολοιδόροισι. Vatican.
12. Ἔφευγε. Vatican.

ODE XLIII. Page 68.

Ver. 2. Ὅτε. Vatican.
5. Καινὰ πάντα. Vatican.
8. Σὺ δὲ φιλία γεωργῶν. Pauw, Fab. Baxter.
Γεωργόις. Trapp.
10. Βροτοῖσιν. Vatican.
15. Εὖ. Vatican.
17. Ἀναιμόσαρκε. Pauw, Parma.

ODE XLIV. Page 70.

Ver. 3. Μόλιβδον. Vatican.
5. Κίχανεν. Pauw, Trapp, Faber.
6. Δ' ὄναρ εἶναι. Vatican.
Ὄναρ. Pauw, Faber, Baxter.
9. Διολισθένειν. Vatican.
Μεν αλλοις. Pauw, Baxt. Trapp.

ODE XLV. Page 71.

Ver. 2. Λιμνίαις. Vatican.
4. Ἐπόει. Vatican.

Ver. 7. Εμισγε. Pauw, Baxter.
14. Υπεμειδίασε. Pauw, Baxter.

ODE XLVII. Page 74.

Ver. 2. Χορευτάν. Pauw, Baxter.
3. Ἂν δ' ὁ γέρων. Vatican.

ODE XLIX. Page 76.

Ver. 3. et seq. Φιλοπαίγμονες δὲ βάκχαι.
Ετεροπνόους ἐναύλους·
Γράφε τὰς πόλεις τὸ πρῶτον
Ἱλαρὰς τε καὶ γελώσας·
} Pauw, Faber.

3. Φιλοπαίγμονός δε βάκχου. Baxter.
7. Δύναιτο. Pauw, Parma.

ODE L. Page 77.

Ver. 6. Πόθον. Vatican.
9. Φυλάττειν. Pauw, Faber.
Φυλάττων. Baxter.
10. Τέμωσι. Pauw.
Τέμνωσι. Vatican.
12. Θϊητόν. Vatican.

Ver. 14. Εσέτους. Pauw, Faber.

ODE LI. Page 78.

Ver. 1. Ποντῳ. Vatican.
2. Τέχνα. Pauw, Baxter, Faber, Parma.
4. Θαλάττης. Vatican.
5. Ὕπερθε λευκὰν. Pauw, Faber, Baxter.
11. Κύμασιν καλύπτει. Vatican.
12. Ἁλαλήμενος. Vatican.
Ἀυτὰ. Pauw.
18. Δηρης. Vatican.
25. Δολερὸν νόον. Pauw, Baxter, Faber.

ODE LII. Page 81.

Tit. Εις Οἶνον. Pauw, Faber, Baxt. Parma.
Ver. 2. Φέρουσιν. Trapp.
5. Πατοῦσιν. Vatican.
10. Εκζεοντα. Trapp.

Ver. 11. Πίνῃ. Pauw, Faber.
15. Ἐλυσθεὶς. Pauw, Parma, Fab. Baxter.
19. Θέλγων. Pauw.
20. Προδότην. Vatican.

ODE LIII. Page 83.

Ver. 2. Μελομαι. Vatican.
Θερινόν. Pauw.
3. Συνεταιρεῖ αὔξει μέλπειν. Pauw, Faber.
Συνεταιροι αυξοι. Baxter.
5. Βροτῶν καρμα. Vatican.
11. Ποιοῦντα. Pauw, Faber.
16. Α σοφῶ. Vatican.
19. Τί δὲ δίχα τοῦ ῥόδου. Vatican.
24. Νοσοισιν. Vatican.
29. Φύσιν. Vatican.
35. Ῥόδον' αγητον. Vatican.
38. Θεῶν δ' ὁμοι. Vatican.
40. Ανέθηλειν. Vatican.

ODE LIV. Page 86.

Ver. 1. Ὅτ' εγώ σε νέοις ὁ. Vatican.
Ὁμίλουν. Pauw.
Ομιλω. Baxter.
2. Ἦκα. Pauw, Faber.
Ηϐα. Baxter.
7. Ἑκὰς. Pauw.
9. Διονυσίοις. Vatican.
10. Φερέτω ῥοιάν. Vatican.

ODE LVI. (Page 89.) LVIII. Pauw.

Ver. 2. Κάρα. Pauw.

ODE LVII. (Page 90.) LIX. Pauw.

Ver. 11. Ὑποπίνοντες. Pauw.

ODE LXV. (Page 101.) LVI. Pauw.

Ver. 1. Δραπέτας. Pauw.
8. Τῷ δραπέτα τῷ χρυσῷ. Pauw.
15. Προσεῖπεν ὁ δραπέτας. Pauw.

Ver. 16. Μέθαν δ' οἱ φροντίδων Pauw.
18. Γένωμαι λαρόν. Pauw.
22. Κέκλυθι ἀδεῖς. Pauw.

FINIS.

Ex Officinâ Gul. Bulmer et Soc.
in vico Cleveland Row.